**0330-0395 - Gregorius Nyssenus - Adversus eos qui castigationes aegre ferunt**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright.
On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site.
Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality,
serial number '2017 059 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances.
Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

Adversus eos qui castigationes aegre ferunt

[00001] ΤΟΥ ΑΥΤΟΥ ΠΡΟΣ ΤΟΥΣ ΑΧΘΟΜΕΝΟΥΣ ΤΑΙΣ ΕΠΙΤΙΜΗΣΕΣΙ.

[00002] Θεῖον ἀληθῶς καὶ ἱερὸν χρῆμα ὁ λόγος Θεοῦ, κτῆμα ἐξαίρετον, οὐκ ἄλλοθεν προσγενόμενον, ἀλλὰ συγκε κραμένον τῇ φύσει, ἀνθρώπῳ δῶρον τιμιώτατον παρὰ τοῦ δημιουργήσαντος εἰς αὐτὸν ἐλθόν.

[00003] Διὸ καὶ καθ' ὁμοίωσιν Θεοῦ γεγενῆσθαι λέγεται.

[00004] Τούτῳ γοῦν ἔχει καὶ πρὸς τὰ ἄλλα ζῶα τὴν διαφορὰν, καὶ τῷ θεοειδεῖ πλεονεκτήματι ἰδιαζόντως χαρακτηρίζεται, σφόδρα τοῖς ἄλλοις πολλὴν ἔχων τὴν κοινωνίαν πρὸς τὰ βοσκήματα.

[00005] Ὀφθαλμῶν γὰρ τύπος, καὶ σαρκῶν διάπλασις, τῶν τε ἐπὶ τῆς ἐπιφανείας, καὶ τῶν ἐν γαστρὶ κρυπτομένων, οὐ σεμνύνει τὸν ἄνθρωπον·

[00006] ἐπειδὴ καὶ ἐν χερσαίοις, καὶ ἐνύδροις, καὶ πτηνοῖς, καὶ πᾶσιν ἁπλῶς ζώοις ἡ ἐκείνων μετουσία βλέπεται.

[00007] Τοῦτο δὲ ἡγεμόνα τῶν πάντων ποιεῖ, καὶ μακαριστὸν ἀποδείκνυσιν·

[00008] ὅπερ Θεὸς ἔχων πλουσίως, ὀλίγον ἡμῖν ἐχαρίσατο, ἵνα πρῶτον ἐκεῖνον βλέπωμεν, καὶ γνω ρίζωμεν λόγον τοῦ λόγου δοτῆρα, καὶ λατρεύωμεν τῷ οὕτως ἡμᾶς καλῶς τῇ ἰδίᾳ κατακοσμήσαντι χάριτι.

[00009] Διὰ λόγους ἰσχύομεν τῶν ἰσχυρῶν πλέον ἀσθενεῖς ὄν τες τὸ σῶμα, καὶ πάντα δουλούμεθα, καὶ ταῖς ἡμετέ ραις ὑπηρετεῖσθαι χρείαις κελεύομεν.

[00010] Οὕτω ταύρους δαμάζομεν καὶ ὑπάγομεν τῷ ζυγῷ, καὶ γῆν ἀρότροις ἀνατέμνειν παρασκευάζομεν, καὶ ἵππον ταχὺν τοῖς ψαλίοις κατάγχοντες ἔχομεν εὐπειθῆ, καὶ τὸν βραδὺν ὄνον τοῖς ῥοπάλοις ἐπείγοντες ποιοῦμεν ὀξύτερον, καὶ τὰς σκληρὰς ἡμιόνους ὀχήματα ἕλκειν καὶ ἀχθο φορεῖν ἀναγκάζομεν·

[00011] ἐλεφάντων δὲ τὴν ἐκκεχυμένην πολυσαρκίαν, καὶ καμήλων τὸ μέγεθος εὐμηχάνως πρὸς τὸ δοκοῦν μεταχειριζόμεθα.

[00012] Ἐντεῦθεν καὶ βάθος περαιούμεθα, καὶ μικρῷ ξύλῳ διὰ κυβερνητικῆς τὰ ἄφατα τῶν πελαγῶν ἐφοδεύομεν, καὶ τῆς πορείας ἐκείνης οὐκ ἔχοντες σύμβολα, ὅταν γῆν ἀποκρύψω μεν, τοῖς κατ' οὐρανὸν σημείοις ἀσφαλῶς ὁδηγού μεθα, καὶ ὁδηγεῖ τὸν ναύτην ὡς τοὺς Μάγους ἀστήρ.

[00013] Οὐρανοῦ δὲ πλάτη καὶ σχήματα ἐξευρέθη καὶ πλῆθος ἀστέρων, καὶ ὅπως ἕκαστος μεγέθους ἔχει, καὶ δια στήματος, καὶ τῆς σελήνης σημείωσις, καὶ τί πάσχων ὁ ἥλιος κατά τινας χρόνους τὴν ἀκτῖνα καλύπτεται·

[00014] ἤδη δὲ καὶ κατὰ γῆς κινουμένης φιλοσοφοῦμεν, ὅπως λυομένη τῶν φυσικῶν ἐρεισμάτων αὐτή τε ἀναβράσ σεται, καὶ τοὺς ἐποίκους μετὰ τῶν ἐπικειμένων κλο νεῖ Συμβόλοις δὲ τοῖς παρατετηρημένοις καὶ αὐχμοὺς [46.309] παραθεωροῦμεν, καὶ ἐπομβρίας προμαντευόμεθα, καὶ τοῖς ἐκ γῆς φυομένοις τὸν λόγον προσάγοντες, τὰς φύσεις τῶν βοτανῶν ἐξετάζομεν, καὶ τὴν μὲν τῷ τραυματίᾳ σωτήριον ἀποφαίνομεν, ἄλλην ἐπιτήδειον πρὸς ὕπνον τῷ μὴ καθεύδοντι, ἑτέραν ἥπατος ἰατι κὴν, καὶ ἄλλην τὰς ἐπαναστάσεις τοῦ σπληνὸς κατα στέλλουσαν.

[00015] Ἐῶ τὰς ἐπιστήμας, ἀφίημι τὰς τέχνας τὰς ἀναγκαίας, τὰς πρὸς τροφὴν πᾶσαν, τὴν ποικί λην τῶν ἐπιτηδευμάτων περίοδον.

[00016] Τὸ δὲ τοιοῦτον ζῶον, τὸ σοφὸν, τὸ πρακτικὸν, τὸ δραστήριον, τὸ μνημονικὸν, τὸ ἐνταῦθα ὂν καὶ τὰ ἀλλαχοῦ βλέπον, διὰ τὸ ποικίλαις ἡδοναῖς καὶ διαφόροις πάθεσι περι έλκεσθαι, ἑνὸς ὀλιγώρως ἔχει, τῆς ἀληθοῦς ζωῆς καὶ τῆς οἰκείας σωτηρίας.

[00017] Καὶ ὁ προβλέπων τροπὰς ἀέρων, τὴν ἀνάστασιν οὐχ ὁρᾷς·

[00018] ὁ τὰς μεταβολὰς τῶν ἐνιαυτῶν εἰδὼς, τὴν μεταβολὴν οὐ βλέπεις τοῦ βίου·

[00019] ὁ τὸν ἴδιον δοῦλον ἀπαιτῶν τὰς εὐθύνας ὧν δια πράττεται, τοῦ σοῦ κριτοῦ καὶ Κυρίου τῆς ἐξουσίας καταφρονεῖς.

[00020] Ταῦτα οὐκ ἔστι τοῦ λογικοῦ, ἀλλ' εἰς μωρίαν τὸ λογικὸν παρατρέποντος.

[00021] Δικαιοσύνην οὐκ ἀσκεῖς, τὴν ἀρετὴν οὐ μανθάνεις, εὐχῆς ἀμελεῖς.

[00022] Καὶ τοῦτο ἐδήλωσεν ἡ χθιζὴ ἡμέρα.

[00023] Ποίοις γὰρ ὀφθαλμοῖς τὴν Κυριακὴν ὁρᾷς, ὁ ἀτιμάσας τὸ Σάββατον;

[00024] Ἢ οὐκ οἶδας ὡς ἀδελφαὶ αὗται αἱ ἡμέραι;

[00025] κἂν εἰς τὴν ἑτέ ραν ἐξυβρίσης, τῇ ἑτέρᾳ προσκρούεις;

[00026] Ἔχων νοῦν καὶ λόγον, οὐ προορᾷς τὸ πρέπον καὶ συμφέρον, οὐδὲ ἐμμελῶς ποιῇ τῆς σαυτοῦ ἀθανασίας τὴν ἐπιμέλειαν, οὐδὲ διασκέπτῃ τὴν σαυτοῦ φύσιν ὅστις εἶ, καὶ τί γε νέσθαι δύνασαι·

[00027] γαστρὶ δὲ καὶ λαγνείαις, καὶ ἀργίᾳ, καὶ ὕπνῳ τοῦ Θεοῦ καὶ εὐεργέτου προδίδως τὸ δῶρον, ἵνα σοι ἀχρεῖον καὶ ἀνωφελὲς καὶ μάταιον γένηται.

[00028] Αἴσχιστον τοῦτο, καὶ νηπίας φρενὸς, καὶ τῆς ἐπαχθοῦς κατηγορίας ἄξιον.

[00029] Ἧττον δ' ἂν ἦν κακὸν, εἰ μὴ νοοῦν τες οἴκοθεν καὶ παρ' ἑαυτῶν τὸ συμφέρον, ἄλλου γοῦν εἰσηγουμένου τὸ χρήσιμον, ἐπειθόμεθα.

[00030] Τὸ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ καὶ σφόδρα τοῖς διδασκάλοις ἀχθό μεθα, καὶ χαλεπῶς αὐτῶν τὴν νουθεσίαν φέρομεν, καὶ ταῖς συμβουλαῖς βαρυνόμεθα.

[00031] Ναυτιῶμεν δὲ πρὸς τὴν παιδείαν τῶν καλῶν, ὡς οἱ κακόσιτοι τῶν ἀῤῥώ στων πρὸς τὰ ὄψα τὰ παρὰ τῶν ἰατρῶν αὐτοῖς ὀρεγό μενα.

[00032] Κἂν ἐπίπληξις γένηται, χαλεπαίνομεν·

[00033] κἂν τραχυτέρου ἀκούσωμεν ῥήματος, δυσανασχετοῦμεν·

[00034] κἂν ἀποκλεισθῶσιν ἡμῖν ἀφορισμῷ αἱ θύραι τῆς ἐκ κλησίας, βλασφημοῦμεν.

[00035] Οὗτος δὲ οὐκ ἔστι μανθα νόντων τρόπος, οὐδὲ ὑπακοὴ μαθητῶν, ἀλλὰ στα σιαστῶν καὶ μαχομένων φιλονεικία.

[00036] Παιδίου γὰρ τάξιν ὁ μαθητὴς ἐπέχειν ὀφείλει, ὃς τέχνης ἢ ἐπιστήμης ἐπιθυμήσει μιᾶς τῶν ἔξωθεν·

[00037] ὁ δὲ εὐσέβειαν ἀσκού μενος, μετὰ πλείονος τῆς προσθήκης εἶναι βρέφος ὀφείλει·

[00038] ἐπειδὴ καὶ ὁ Κύριος ἐκείνην τὴν ἡλικίαν ὡς εὐπειθῆ τοῖς παρ' ἑαυτοῦ ἐπαίνοις ἐσέμνυνε.

[00039] Τὸ παι δίον τοίνυν οὐκ ἐμβαίνει τοὺς χαρακτῆρας καὶ τὰς γραμμὰς ἅσπερ ἂν ὁ διδάσκαλος τῷ κηρῷ ἐνσημή νηται·

[00040] οὐδὲ στοιχεῖα καινοτομεῖ, ὑπ' ἐξουσίας ἐμπλή κτου νεωτερίζον περὶ τὰ γράμματα·

[00041] ἀλλὰ πρώτην μὲν τῇ γραφίδι τοῖς τοῦ διδασκάλου τύποις ἐνασκεῖ τὴν χεῖρα·

[00042] ὀνόματα δὲ οὐκ ἄλλα τοῖς στοιχείοις ἐπι

[00043] [46.312] λέγει, ἀλλ' ἅπερ ἤκουσε·

[00044] παντὶ δὲ τρόπῳ καὶ λόγῳ καὶ ἔργῳ μιμεῖται τοῦ καθηγητοῦ τὴν παράδοσιν.

[00045] Ἂν δέ που καὶ ῥαθυμῆσαν ἀποτυμπανισθῇ τῷ σκύ τει, οὐ θρασύνεται τῇ πληγῇ, οὐδὲ τὰς δέλτους τῷ διδασκάλῳ περιῤῥῆξαν ἀποφοιτᾷ·

[00046] ἀλλ' ἐπ' ὀλίγον τῇ ἀληδόνι πικρὸν ἐπιστάξαν τὸ δάκρυον, ἔχεται τῶν μαθημάτων, καὶ συντονώτερον περὶ τὴν μελέτην, ἀλλ' οὐκ ἀμελέστερον γίνεται.

[00047] Ἄλλοτε πάλιν ὀλιγωρήσας ὡς νέος, κελεύεται μένειν ἀπόσιτος, καὶ τῷ λιμῷ τὴν ῥαθυμίαν καταδικάζεται.

[00048] Παραμένει δὲ τῷ διδασκα λείῳ καὶ μόνος, τῶν ἄλλων παίδων ἀναχωρησάντων ἐπ' ἄριστον, τηρῶν τὸ πρόσταγμα σὺν εὐλαβείᾳ πολλῇ.

[00049] Ὁ Χριστιανὸς δὲ οὐχ οὕτως, ὁ ἀκούσας, «Ἂν μὴ στραφῆτε καὶ γένησθε ὡς τὰ παιδία, οὐ μὴ εἰσέλθητε εἰς τὴν βασιλείαν τῶν οὐρανῶν·» ἀλλ' ὅταν αὐστηρότερον ἴδῃ τὸν ἱερέα σχήματι καὶ φωνῇ διορθούμενον τὸ πλημμέλημα, προφανῶς ἀντιλέγει, καὶ ὑπ' ὀδόντα γογγύζει, καὶ περινοστῶν τὴν ἀγορὰν καὶ τὰ ἄμφοδα λοιδορεῖται.

[00050] Κἂν τῆς ἐκκλησίας ἀπο κλεισθῇ, καταφρονεῖ τῆς εὐχῆς, ἀπροσποιήτως τοῦ λαοῦ καὶ τῶν μυστηρίων ἀποτεμνόμενος·

[00051] ἢ τυχὸν οὐδὲ ὑποβληθεὶς ταύτῃ τῇ τιμωρίᾳ, ἑαυτὸν τῆς ἐκ κλησίας ἀπάγει, διὰ τὴν ὀργὴν τὴν πρὸς τὸν ἐπίσκο πον, καὶ τὸν Θεὸν καὶ Δεσπότην ἀποστρεφόμενος.

[00052] Λεκτέον δὲ τῷ τοιούτῳ τὸ πρὸς Παῦλον λεχθὲν, ἡνίκα ἔτι Σαῦλος ἐτύγχανε·

[00053] «Σκληρόν σοι, ἄνθρωπε, πρὸς κέντρα λακτίζειν.».

[00054] Εἴτε ἀπὸ σαυτοῦ τὸν Θεὸν ἀφῆ κας, λόγισαι ὅτι ὁ τοῦ ἡλίου χωριζόμενος, ἐν σκότει καὶ ζόφῳ διάγει τὸν βίον·

[00055] εἴτε ἀπεβλήθης τῶν εὐχῶν ὡς ἀνάξιος, ἀνακάλεσαι τῇ μετανοίᾳ τὴν πρώτην κατάστασιν.

[00056] Οὐδὲν ψεῦδος ἐν Εὐαγγελίοις γέγραπται, οὐδὲ πρόῤῥησις τοῦ Χριστοῦ ἐσφαλμένην ἔχει τὴν ἔκβα σιν.

[00057] Διὰ Πέτρου ἔδωκε τοῖς ἐπισκόποις τὴν κλεῖδα τῶν ἐπουρανίων τιμῶν·

[00058] γίνωσκε ὅτι λυθεὶς λέλυσαι, καὶ δεθεὶς τοῖς ἀοράτοις δεσμοῖς κατασφίγγῃ.

[00059] Εἰ ὀφθαλμοὺς εἶχες πρὸς τὴν οὐσίαν τῆς ψυχῆς, ἔδειξα ἄν σοι τῷ ἀφωρισμένῳ σχῆμα κατακεκριμένου, βαρυ τάτοις δεσμοῖς τὸν αὐχένα πιεζομένου, οὐδὲν τῶν μελῶν ἐλεύθερον ἢ ἄνετον ἔχοντος.

[00060] Καὶ εἴθε τῷ βίῳ ἡ τιμωρία περιωρίζετο! νυνὶ δὲ ἂν ἀνθρώπινόν τι συμβῇ, καὶ ἀθρόον παραστῇ ἡ τελευτὴ, ὡς κλέπτης ἐν νυκτὶ, γίνωσκε κεκλεῖσθαί σοι τὰ ἐκεῖ.

[00061] Ἐπιμελεῖς εἰσι καὶ μὴ παιζόμενοι οἱ τῆς βασιλείας θυρωροί·

[00062] ὁρῶσι τὴν ψυχὴν τὰ τοῦ ἀφορισμοῦ φέρουσαν σύμβολα.

[00063] Ὥς τινα τοῦ δεσμωτηρίου τῇ κόμῃ καὶ τῷ ῥύπῳ κατηγορού μενον, ἀπελαύνουσιν αὐτὴν τῆς ἐπὶ τὰ καλὰ φερού σης ὁδοῦ·

[00064] οὐ συγχωρήσουσιν ἰδεῖν τὰ τάγματα δικαίων, καὶ ἀγγελικὴν εὐφροσύνην.

[00065] Ἡ δὲ ἀθλία τότε πολλὰ τῆς ἀβουλίας ἑαυτὴν καταμεμφομένη, οἰμώζουσα δὲ καὶ ὀδυρομένη, καὶ στένουσα, καὶ σκυθρωπῷ τινι τόπῳ, οἷον γωνίᾳ προσεῤῥιμμένη διατελέσει, τὸν ἄληκτον ὀδυρμὸν καὶ ἀπαραμύθητον εἰς αἰῶνας ἐκτίνουσα.

[00066] «Μὴ γίνεσθε,» φησὶν, «ὡς ἵππος καὶ ἡμίονος, οἷς οὐκ ἔστι σύνεσις·

[00067] ἐν κημῷ καὶ χαλινῷ [46.313] τὰς σιαγόνας αὐτῶν ἄγξεις.».

[00068] Τὸν σκληρὸν ὁ ψαλμὸς ἁπαλύνων ταῦτά φησι, καὶ οἷον ἐλαίῳ ἐκμαλάσσων ταῖς παραινέσεσι.

[00069] Κάμψον οὖν τὸν αὐχένα, εἶξον ὡς ζυγῷ τοῖς προστάγμασι·

[00070] τὸ σκληρὸν ἀποῤῥήγνυται, τὸ εἶκον καὶ καμπτόμενον ὀρθοῦται·

[00071] καὶ διδάσκει σε τοῦτο ἡ ἐπὶ τοῖς φυτοῖς πεῖρα.

[00072] Μὴ τὸν χαλινὸν ἐνδακὼν ὁρμήσῃς ἐπὶ τὸν κρημνὸν, ἢ τὸ βάραθρον, ἀλλὰ περιαχθεὶς τὸν αὐχένα τῇ χειρὶ τοῦ ἀναβάτου, ἐπὶ τὴν σώζουσαν ὁδὸν κατευθύνθητι·

[00073] ὅταν ἐπιτίμησιν δέξῃ, εἰπὲ ἀπὸ εὐλαβοῦς ψυχῆς τὸ Δαβιτικὸν, «Ἀγαθόν μοι, ὅτι ἐταπείνωσάς με, ὅπως ἂν μάθω τὰ δικαιώματά σου.».

[00074] Μὴ ἐπισκοπικῆς αὐθαδείας εἶναι τὸν ἀφορισμὸν νομίσῃς·

[00075] πατρῷος ὁ νόμος, παλαιὸς τῆς Ἐκκλησίας κανὼν ἀπὸ τοῦ νόμου ἀρξάμενος καὶ κρατυνθεὶς ἐν τῇ χάριτι.

[00076] Θεώρησον τὸν ἅγιον Παῦλον δι' ἐπιστολῶν τὰς ἀποφάσεις τοῦ ἀφορισμοῦ κατὰ τῶν ὑπευθύνων ἐκπέμποντα, καὶ τὸν Κορίνθιον νεανίσκον τῷ τοιούτῳ ἰατρεύοντα φαρμάκῳ, τὸν τῇ μητρυιᾷ σατανικῶς ἐπιμανέντα·

[00077] «Ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει, μαστιγοῖ δὲ υἱὸν ὃν παραδέχεται.».

[00078] Οὐ γάρ εἰσιν αἱ ῥίζαι τῆς παιδείας γλυκεῖαι, ἀλλὰ πικραί·

[00079] καρπὸν δὲ εἰς ὕστερον βλαστάνουσι κηρίων ἡδύτερον.

[00080] Καὶ διὰ τοῦτο χρεία τῷ μὲν ἀσκουμένῳ τοῦ μοχθεῖν, τῷ δὲ ἀσκοῦντι καὶ πληγῆς καὶ τραχύτητος.

[00081] Καὶ τῷ μὲν Μωσαϊκῷ νόμῳ αἱ τέσσαρες δεκάδες μέχρι νῦν αἱ νομικαὶ τῶν πληγῶν παραμένουσιν, οὐ τῷ εὐαγγελικῷ δὲ βίῳ·

[00082] ἐπειδὴ πάντων ὁ λόγος ἐστὶ, καὶ ἔλεος, καὶ ῥάβδος, καὶ παράκλησις, καὶ πληγή.

[00083] Οὐ γὰρ τύπτομέν σε ὡς οἰκέτην, ἀλλὰ παιδεύομέν σε ὡς ἐλεύθερον·

[00084] σοὶ γὰρ ἐκ τῆς Σάῤῥας τῆς ἐλευθέρας τὸ γένος, οὐκ ἐκ τῆς Ἄγαρ τῆς δούλης.

[00085] Αἰδούμεθά σε ὡς υἱὸν τῆς ἐλευθέρας, οὐκ ἀτιμάζομεν ὡς γέννημα τῆς παιδίσκης.

[00086] Διὰ τοῦτο ταῖς ἐλευθερίοις ἐπιτιμήσεσι λυποῦμέν σε πλημμελοῦντα, οὐ σῶμα ξαίνοντες, ἀλλὰ ψυχὴν ἀνιῶντες.

[00087] Ἂν δὲ καὶ τούτου φειδώμεθα, πῶς σε παιδεύσομεν;

[00088] Δυσμεταχείριστός ἐστιν ὁ διδασκαλικὸς λόγος, καὶ ἡ ἀγωγὴ τῆς ἀρετῆς, καὶ ποικίλην ἐπιζητεῖ τὴν τῆς ἐπιστασίας οἰκονομίαν, τοῖς ὑποκειμένοις ἤθεσιν ἑαυτὴν προσαρμόζουσα.

[00089] Ἔστι τις εὐπειθὴς καὶ τὴν γνώμην εὐάγωγος;

[00090] τούτῳ ὁ πρᾶος καὶ ἁπαλὸς ἁρμόζει λόγος.

[00091] Ἄλλος σκληρὸς καὶ ἀνάγωγος;

[00092] μαστίγων χρῄζει.

[00093] Τί οὖν ποιήσομεν, ἐπειδὴ ῥάβδους οὐ μεταχειριζόμεθα;

[00094] καταλείψομεν αὐτὸν ἀπρονόητον;

[00095] Οὐχ οὕτως.

[00096] Ἀλλὰ τὸν αὐτὸν λόγῳ μεταῤῥυθμίσομεν εἰς ἄλλο σχῆμα ὑποκειμένῃ χρείᾳ κατάλληλον·

[00097] καὶ ὥσπερ τὰ ὄψα τῇ μικρᾷ προσθέσει τῶν ἀρτυμάτων πρὸς τὰς ἐναντίας ποιότητας διαμείβεται, ἀπὸ τοῦ στύφοντος εἰς τὸ γλυκὺ, καὶ ἀπὸ τοῦ γλυκέος εἰς τὸ στύφον μεταβαλλόμενα·

[00098] οὕτως καὶ ὁ ἡμέτερος λόγος τῇ προσθήκῃ τῶν σχημάτων πρὸς διαφόρους χρείας μετατυποῦται, ἵν' ἐπινοηθῇ ἑκάστου τὸ τρόφιμον.

[00099] Μὴ οὖν ἐν ταῖς γωνίαις μου καταλάλει, τραχὺ ὀνομάζων τὸ διδασκαλικὸν, μηδὲ τοὺς κοινωνοὺς τῶν ἁμαρτημάτων κοινωνοὺς τῶν κατ' ἐμοῦ ποιούμενος μέμψεων, καθέζῃ κρίνων ἐπίσκοπον μετὰ τοῦ συν [46.316] εδρίου τῆς ματαιότητος.

[00100] Ἐγὼ δὲ οὐ παραχθήσομαι τὴν ψυχὴν καινόν τι πάσχων, εἰ ἄχθονταί μου τῶν μαθητῶν οἱ σκληρότεροι.

[00101] Πάθος γάρ ἐστι τοῦτο ἀνθρώπινον ἐξ ἀρχῆς εἰς τέλος τῷ βίῳ παρακόλουθον·

[00102] καὶ βαρὺς μὲν ὁ ἄρχων ὡς ἐπὶ πᾶν τοῖς ἀρχομένοις·

[00103] τοῖς δὲ μιαροῖς καὶ παρανόμοις καὶ μίσους ἄξιος.

[00104] Λυπεῖ γὰρ τὴν ἁμαρτίαν κωλύων·

[00105] καί με τοῦτο μετὰ τῶν ἔξωθεν πραγμάτων ἱκανῶς καὶ ἡ ἐκκλησιαστικὴ ἱστορία διδάσκει.

[00106] Τίς κρείττων ποιμὴν Μωσέως;

[00107] τίς δὲ ἄρχων ἐμμελὴς οὕτω καὶ ἤπιος, πάντα γινόμενος τῷ λαῷ, τροφεὺς, στρατηγὸς, ἱερεὺς, αὐτοπατὴρ, ἐν πολέμοις σώζων, ἐν ἐρήμῳ ἄσπαρτα καὶ ἀνήροτα χορηγῶν ἀγαθὰ, δικάζων ἐμμελῶς, ἀπλανῶς ὁδηγῶν;

[00108] καίτοι ἐπὶ τούτων κατεστασιάσθη ὡς ἀδικῶν, ὑβρίσθη ὡς βλάπτων, κατεγογγύσθη ὡς οἱ κλέπτοντες καὶ νοσφιζόμενοι, ἐβλασφημήθη ὡς ἀνεπιστήμων στρατηγὸς καὶ προστάτης οὐκ ἀγαθὸς, ἐκινδύνευσε καὶ αὐτῆς τῆς ἱερωσύνης ἀπελαθῆναι, ἡνίκα Δαθὰν καὶ Ἀβειρὼν καὶ υἱοὶ Κορὲ δῆμον στασιώδη μεθ' ἑαυτῶν τοῦ λαοῦ ἀποῤῥήξαντες, βέβηλοι τῶν ἁγίων ἱερεῖς ἐφιλονείκουν εἶναι, καὶ τὰς θυμιατρίδας μετεχειρίζοντο, καὶ ὅσον οὐδέπω τῶν ἁγίων ἥπτοντο, καὶ τὸ πῦρ ἀνῆπτον τὸ μυστικὸν, ὃ πρὸ τοῦ θυμιάματος τοὺς θυμιῶντας κατέφλεξε.

[00109] Καὶ τοσοῦτόν γέ ἐστιν εὐπρόσκρουστον προστασία λαοῦ καὶ τὸ διδασκαλικὸν ἐπιτήδευμα, ὥστε οὐδὲ οἱ ἀδελφοὶ τοῦ Μωϋσέως ἐφείσαντο·

[00110] ἀλλὰ καὶ Μαρία κατελάλει, καὶ Ἀρὼν ἐλοιδόρει, καὶ τὸ φορτικὸν τῆς ἀρχῆς τὴν φυσικὴν παρώξυνεν εὔνοιαν, καὶ τοὺς οἰκειοτάτους τῷ πολυμόχθῳ ἀνδρὶ ἐπανέστησεν.

[00111] Ἀλλ' οὐδὲν περὶ τοῦτο·

[00112] ὁ μὲν γὰρ ἦν Μωϋσῆς, καὶ οὐδὲν ἑαυτοῦ χείρων ἐγένετο·

[00113] οἱ δὲ τῶν εἰς τὸν ἡγεμόνα πλημμελημάτων παρὰ Θεοῦ τὰς δίκας καὶ ἀπητήθησαν, καὶ ἀπέτισαν.

[00114] Τί οἱ μετὰ τοῦτον;

[00115] Οὐχ Ἡσαΐας τὴν εὐσέβειαν διδάσκων ἐπρίσθη;

[00116] Οὐχ Ἱερεμίας τὴν εἰδωλολατρείαν ἀποκηρύττων κατεβοήθη, καὶ λάκκοι αὐτὸν καὶ τιμωρίαι καταῤῥακτῶν διεδέξαντο;

[00117] Οὐ Ζαχαρίας μεταξὺ τοῦ ναοῦ καὶ τοῦ θυσιαστηρίου ἐπολεμήθη καὶ ἐφονεύθη;

[00118] Ὁ Κύριος ἡμῶν ὁ αὐτὸς οὐ περὶ τῶν προβάτων, ὁ ποιμὴν, ἐσφάγη;

[00119] οὐ περὶ τῶν παιδευομένων μισηθεὶς ἐσταυρώθη;

[00120] Τί Παῦλον τῆς κεφαλῆς ἀπέτεμε;

[00121] τί Πέτρον ἐπὶ τὸν σταυρὸν ὕψωσε;

[00122] τί τοὺς καθ' ἕκαστον τῶν μαθητῶν ταῖς ποικίλαις τιμωρίαις παρέδωκεν;

[00123] Οὐ τὸ κωλύειν τὴν ἁμαρτίαν, καὶ παιδεύειν δικαιοσύνην;

[00124] Ἀεὶ γὰρ ἐχθροὶ τῶν ἐλεγχομένων μαθητῶν οἱ τῆς ἀληθείας φίλοι τε καὶ διδάσκαλοι.

[00125] Ἡμεῖς δὲ οὐδέπω ὑπὲρ τῆς ἀληθείας ἐῤῥαπίσθημεν, οὐδέπω τῇ σαρκὶ τὸν κίνδυνον ἐδεξάμεθα.

[00126] Καὶ τί μέγα ἂν γογγυσθῶμεν, οἱ τοῦ σταυρωθέντος διάκονοι;

[00127] Ὡς πατὴρ ἢ μήτηρ δέχομαί σου τὰς σκληρότητας καὶ παροξυσμούς.

[00128] ἀἀἀ

---

© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.

**0330-0395 - Gregorius Nyssenus - Adversus eos qui castigationes aegre ferunt**

**Litterarum Omnium Conspectus: 123 Litterae, quae repetitae sunt in 10,327 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 772 | Α | 0913 | 5 |
| β | 0946 | 59 | Β | 0914 | 0 |
| γ | 0947 | 155 | Γ | 0915 | 0 |
| δ | 0948 | 197 | Δ | 0916 | 0 |
| ε | 0949 | 512 | Ε | 0917 | 6 |
| ζ | 0950 | 39 | Ζ | 0918 | 1 |
| η | 0951 | 156 | Η | 0919 | 1 |
| θ | 0952 | 144 | Θ | 0920 | 10 |
| ι | 0953 | 455 | Ι | 0921 | 4 |
| κ | 0954 | 403 | Κ | 0922 | 17 |
| λ | 0955 | 292 | Λ | 0923 | 2 |
| μ | 0956 | 334 | Μ | 0924 | 12 |
| ν | 0957 | 816 | Ν | 0925 | 2 |
| ξ | 0958 | 31 | Ξ | 0926 | 0 |
| ο | 0959 | 697 | Ο | 0927 | 17 |
| π | 0960 | 317 | Π | 0928 | 11 |
| ρ | 0961 | 367 | Ρ | 0929 | 1 |
| ς | 0962 | 432 | • | 0930 | 0 |
| σ | 0963 | 349 | Σ | 0931 | 11 |
| τ | 0964 | 789 | Τ | 0932 | 16 |
| υ | 0965 | 171 | Υ | 0933 | 5 |
| φ | 0966 | 80 | Φ | 0934 | 0 |
| χ | 0967 | 110 | Χ | 0935 | 3 |
| ψ | 0968 | 15 | Ψ | 0936 | 0 |
| ω | 0969 | 136 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 10 | | | 0 |
| ῥ | 8165 | 18 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 105 | έ | 8051 | 130 | ή | 8053 | 45 | ί | 8055 | 180 | ό | 8057 | 84 | ύ | 8059 | 81 | ώ | 8061 | 20 |
| ὰ | 8048 | 81 | ὲ | 8050 | 53 | ὴ | 80852 | 78 | ὶ | 8054 | 179 | ὸ | 8056 | 128 | ὺ | 8058 | 20 | ὼ | 8060 | 6 |
| ᾶ | 8118 | 7 | | | 0 | ῆ | 8134 | 68 | ῖ | 8150 | 68 | | | 0 | ῦ | 8166 | 93 | ῶ | 8182 | 95 |
| ἀ | 7936 | 121 | ἐ | 7952 | 129 | ἠ | 7968 | 0 | ἰ | 7984 | 36 | ὀ | 8000 | 18 | ὐ | 8016 | 91 | ὠ | 8032 | 0 |
| ἁ | 7937 | 9 | ἑ | 7953 | 12 | ἡ | 7969 | 25 | ἱ | 7985 | 24 | ὁ | 8001 | 32 | ὑ | 8017 | 11 | ὡ | 8033 | 19 |
| ἂ | 7938 | 10 | ἒ | 7954 | 0 | ἢ | 7970 | 5 | ἲ | 7986 | 0 | ὂ | 8002 | 1 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 0 | ἳ | 7987 | 0 | ὃ | 8003 | 3 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 24 | ἔ | 7956 | 22 | ἤ | 7972 | 4 | ἴ | 7988 | 7 | ὄ | 8004 | 4 | ὔ | 8020 | 1 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 3 | ἕ | 7957 | 3 | ἥ | 7973 | 3 | ἵ | 7989 | 5 | ὅ | 8005 | 12 | ὕ | 8021 | 11 | ὥ | 8037 | 2 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 2 | ἶ | 7990 | 8 | | | 0 | ὖ | 8022 | 3 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 0 | ἷ | 7991 | 3 | | | 0 | ὗ | 8023 | 2 | ὧ | 8039 | 1 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |
| ᾳ | 8115 | 11 | | | 0 | ῃ | 8131 | 13 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 26 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 1 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 6 | | | 0 | ῇ | 8135 | 24 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 35 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.

**0330-0395 - Gregorius Nyssenus - Adversus eos qui castigationes aegre ferunt**

**Verborum Omnium Conspectus: 1,133Verba, quae repetita sunt in 29,190 occasionibus**

**ἀὰὰ** [00128]
**Ἀβειρὼν** [00108]
**ἀβουλίας** [00065]
**ἀγαθὰ** [00107]
**Ἀγαθόν** [00073]
**ἀγαθὸς** [00108]
**ἀγαπᾷ** [00077]
**Ἄγαρ** [00084]
**ἀγγελικὴν** [00064]
**ἅγιον** [00076]
**ἁγίων** [00108] [00108]
**ἄγξεις** [00067]
**ἀγορὰν** [00049]
**ἀγωγὴ** [00088]

**ἀδελφαὶ** [00024]
**ἀδελφοὶ** [00109]
**ἀδικῶν** [00108]
**Ἀεὶ** [00124]
**ἀέρων** [00017]
**ἀθανασίας** [00026]
**ἀθλία** [00065]
**ἀθρόον** [00060]
**αἱ** [00024] [00034] [00078] [00081] [00081]
**Αἰδούμεθά** [00085]
**Αἴσχιστον** [00028]
**αἰῶνας** [00065]
**ἀκούσας** [00049]
**ἀκούσωμεν** [00033]
**ἀκτῖνα** [00013]
**ἀλγηδόνι** [00046]
**ἀληθείας** [00124] [00125]
**ἀληθοῦς** [00016]
**ἀληθῶς** [00002]
**ἄληκτον** [00065]
**ἀλλ** [00020] [00043] [00046] [00046] [00049]
**Ἀλλ** [00111]
**ἀλλὰ** [00002] [00030] [00035] [00041] [00072] [00078] [00083] [00086] [00110]
**ἄλλα** [00004] [00042]
**Ἀλλὰ** [00096]
**ἀλλαχοῦ** [00016]
**ἄλλην** [00014] [00014]
**ἄλλο** [00096]
**ἄλλοθεν** [00002]
**ἄλλοις** [00004]
**Ἄλλος** [00091]
**Ἄλλοτε** [00047]
**ἄλλου** [00029]
**ἄλλων** [00048]
**ἁμαρτημάτων** [00099]
**ἁμαρτίαν** [00104] [00123]
**ἀμελεῖς** [00021]
**ἀμελέστερον** [00046]
**ἄμφοδα** [00049]
**ἂν** [00029] [00039] [00060] [00073] [00126]
**ἄν** [00059]
**Ἂν** [00045] [00049] [00087]
**ἀναβάτου** [00072]
**ἀναβράσ** [00014]
**ἀναγκάζομεν** [00010]
**ἀναγκαίας** [00015]
**ἀνάγωγος** [00091]
**ἀνακάλεσαι** [00055]
**ἀνάξιος** [00055]
**ἀνάστασιν** [00017]
**ἀνατέμνειν** [00010]
**ἀναχωρησάντων** [00048]
**ἀνδρὶ** [00110]
**ἀνεπιστήμων** [00108]
**ἄνετον** [00059]
**ἀνῆπτον** [00108]
**ἀνήροτα** [00107]
**ἄνθρωπε** [00053]
**ἀνθρώπινόν** [00060]
**ἀνθρώπινον** [00101]
**ἄνθρωπον** [00005]
**ἀνθρώπῳ** [00002]
**ἀνιῶντες** [00086]
**ἀντιλέγει** [00049]
**ἀνωφελὲς** [00027]
**ἄξιον** [00028]
**ἄξιος** [00103]
**ἀοράτοις** [00058]
**ἀπάγει** [00051]
**ἀπαιτῶν** [00019]
**ἁπαλὸς** [00090]
**ἁπαλύνων** [00068]
**ἀπαραμύθητον** [00065]
**ἀπεβλήθης** [00055]
**ἀπελαθῆναι** [00108]
**ἀπελαύνουσιν** [00063]
**ἅπερ** [00043]
**ἀπέτεμε** [00120]
**ἀπέτισαν** [00113]
**ἀπῃτήθησαν** [00113]
**ἀπλανῶς** [00107]
**ἁπλῶς** [00006]
**ἀποδείκνυσιν** [00007]
**ἀποκηρύττων** [00116]
**ἀποκλεισθῶσιν** [00034]
**ἀποκρύψω** [00012]
**ἀποῤῥήγνυται** [00070]
**ἀποῤῥήξαντες** [00108]
**ἀπόσιτος** [00047]
**ἀποστρεφόμενος** [00051]
**ἀποτεμνόμενος** [00050]
**ἀποτυμπανισθῇ** [00045]
**ἀποφαίνομεν** [00014]
**ἀποφάσεις** [00076]
**ἀποφοιτᾷ** [00045]
**ἀπρονόητον** [00094]
**ἀπροσποιήτως** [00050]
**ἀργίᾳ** [00027]
**ἀρετὴν** [00021]
**ἀρετῆς** [00088]
**ἄριστον** [00048]
**ἁρμόζει** [00090]
**ἀρξάμενος** [00075]
**ἀρότροις** [00010]
**ἀῤῥώ** [00031]
**ἀρτυμάτων** [00097]
**ἀρχῆς** [00101] [00110]
**ἀρχομένοις** [00102]
**ἄρχων** [00102] [00107]
**Ἀρὼν** [00110]
**ἀσθενεῖς** [00009]
**ἀσκεῖς** [00021]
**ἀσκού** [00037]
**ἀσκουμένῳ** [00080]
**ἀσκοῦντι** [00080]
**ἄσπαρτα** [00107]

**ἅσπερ** [00039]
**ἀστέρων** [00013]
**ἀστήρ** [00012]
**ἀσφαλῶς** [00012]
**ἀτιμάζομεν** [00085]
**ἀτιμάσας** [00023]
**αὐθαδείας** [00074]
**αὐστηρότερον** [00049]
**αὗται** [00024]
**αὐτή** [00014]
**αὐτὴν** [00063]
**αὐτῆς** [00108]
**αὐτοῖς** [00031]
**αὐτὸν** [00002] [00094] [00096] [00116]
**αὐτοπατὴρ** [00107]
**αὐτὸς** [00118]
**ΑΥΤΟΥ** [00001]
**αὐτῶν** [00030] [00067]
**αὐχένα** [00059] [00069] [00072]
**αὐχμοὺς** [00014]
**ἄφατα** [00012]
**ἀφῇ** [00054]
**ἀφίημι** [00015]
**ἀφορισμὸν** [00074]
**ἀφορισμοῦ** [00062] [00076]
**ἀφορισμῷ** [00034]
**ἀφωρισμένῳ** [00059]
**ἀχθό** [00030]
**ἀχθο** [00010]
**ΑΧΘΟΜΕΝΟΥΣ** [00001]
**ἄχθονταί** [00100]
**ἀχρεῖον** [00027]

**βάθος** [00012]
**βάραθρον** [00072]
**βαρυ** [00059]
**βαρυνόμεθα** [00030]
**βαρὺς** [00102]
**βασιλείαν** [00049]
**βασιλείας** [00061]
**βέβηλοι** [00108]
**βίον** [00054]
**βίου** [00018]
**βίῳ** [00060] [00081] [00101]
**βλάπτων** [00108]
**βλαστάνουσι** [00079]
**βλασφημοῦμεν** [00034]
**βλέπεις** [00018]
**βλέπεται** [00006]
**βλέπον** [00016]
**βλέπωμεν** [00008]
**βοσκήματα** [00004]
**βοτανῶν** [00014]
**βραδὺν** [00010]
**βρέφος** [00037]

**γὰρ** [00005] [00023] [00036] [00077] [00083] [00084] [00104] [00112] [00124]
**γάρ** [00078] [00101]
**γαστρὶ** [00005] [00027]
**γέ** [00109]
**γε** [00026]
**γεγενῆσθαι** [00003]
**γέγραπται** [00056]
**γένησθε** [00049]
**γένηται** [00027] [00032]
**γέννημα** [00085]
**γένος** [00084]
**γῆν** [00010] [00012]
**γῆς** [00014] [00014]
**γίνεσθε** [00066]
**γίνεται** [00046]
**γινόμενος** [00107]
**γίνωσκε** [00058] [00060]
**γλυκεῖαι** [00078]
**γλυκέος** [00097]
**γλυκὺ** [00097]
**γνω** [00008]
**γνώμην** [00089]
**γογγύζει** [00049]
**γογγυσθῶμεν** [00126]
**γοῦν** [00004] [00029]
**γραμμὰς** [00039]
**γράμματα** [00040]
**γραφίδι** [00041]
**γωνίᾳ** [00065]
**γωνίαις** [00099]

**δ** [00029]
**Δαβιτικὸν** [00073]
**Δαθὰν** [00108]
**δάκρυον** [00046]
**δαμάζομεν** [00010]
**δὲ** [00007] [00011] [00013] [00014] [00014] [00016] [00027] [00030] [00031] [00035] [00037] [00042] [00044] [00048] [00049] [00052] [00060] [00065] [00065] [00077] [00079] [00080] [00081] [00087] [00100] [00103] [00107] [00113] [00125]
**δέ** [00045]
**δεθεὶς** [00058]
**δεκάδες** [00081]
**δέλτους** [00045]
**δέξῃ** [00073]
**δεσμοῖς** [00058] [00059]
**δεσμωτηρίου** [00063]
**Δεσπότην** [00051]
**δέχομαί** [00127]
**δημιουργήσαντος** [00002]
**δῆμον** [00108]
**δι** [00076]
**Διὰ** [00009] [00057] [00086]
**διὰ** [00012] [00016] [00051] [00080]
**δια** [00013] [00019]
**διάγει** [00054]

**διάκονοι** [00126]
**διαμείβεται** [00097]
**διάπλασις** [00005]
**διασκέπτῃ** [00026]
**διατελέσει** [00065]
**διαφορὰν** [00004]
**διαφόροις** [00016]
**διαφόρους** [00098]
**διδασκα** [00048]
**διδασκαλικὸν** [00099] [00109]
**διδασκαλικὸς** [00088]
**διδάσκαλοι** [00124]
**διδασκάλοις** [00030]
**διδάσκαλος** [00039]
**διδασκάλου** [00041]
**διδασκάλῳ** [00045]
**διδάσκει** [00071] [00105]
**διδάσκων** [00115]
**διεδέξαντο** [00116]
**δικάζων** [00107]
**Δικαιοσύνην** [00021]
**δικαιοσύνην** [00123]
**δικαιώματά** [00073]
**δικαίων** [00064]
**δίκας** [00113]
**Διὸ** [00003]
**δίον** [00039]
**διορθούμενον** [00049]
**δοκοῦν** [00011]
**δοτῆρα** [00008]
**δούλης** [00084]
**δοῦλον** [00019]
**δουλούμεθα** [00009]
**δραστήριον** [00016]
**δύνασαι** [00026]
**δυσανασχετοῦμεν** [00033]
**Δυσμεταχείριστός** [00088]
**δῶρον** [00002] [00027]

**ἑαυτὴν** [00065] [00088]
**ἑαυτὸν** [00051]
**ἑαυτοῦ** [00038] [00112]
**ἑαυτῶν** [00029] [00108]
**ἐβλασφημήθη** [00108]
**ἐγένετο** [00112]
**Ἐγὼ** [00100]
**ἔδειξα** [00059]
**ἐδεξάμεθα** [00125]
**ἐδήλωσεν** [00022]
**εδρίου** [00099]
**ἔδωκε** [00057]
**Εἰ** [00059]
**εἰ** [00029] [00100]
**εἶ** [00026]
**εἰδωλολατρείαν** [00116]
**εἰδὼς** [00018]
**εἴθε** [00060]
**εἶκον** [00070]
**εἶναι** [00037] [00074] [00108]
**εἶξον** [00069]
**εἰπὲ** [00073]
**εἰς** [00002] [00020] [00025] [00049] [00065] [00079] [00096] [00097] [00097] [00101] [00113]
**εἰσέλθητε** [00049]
**εἰσηγουμένου** [00029]
**εἰσι** [00061]
**εἰσιν** [00078]
**Εἴτε** [00054]
**εἴτε** [00055]
**εἶχες** [00059]
**ἐκ** [00014] [00034] [00051] [00084] [00084]
**ἕκαστον** [00122]
**ἕκαστος** [00013]
**ἑκάστου** [00098]
**ἔκβα** [00056]
**ἐκεῖ** [00060]
**ἐκείνην** [00038]
**ἐκείνης** [00012]
**ἐκεῖνον** [00008]
**ἐκείνων** [00006]
**ἐκινδύνευσε** [00108]
**ἐκκεχυμένην** [00011]
**ἐκκλησίας** [00050]
**Ἐκκλησίας** [00075]
**ἐκκλησιαστικὴ** [00105]
**ἐκμαλάσσων** [00068]
**ἐκπέμποντα** [00076]
**ἐκτίνουσα** [00065]
**ἐλαίῳ** [00068]
**ἐλεγχομένων** [00124]
**ἔλεος** [00082]
**ἐλευθέρας** [00084] [00085]
**ἐλευθερίοις** [00086]
**ἐλεύθερον** [00059] [00083]
**ἐλεφάντων** [00011]
**ἐλθόν** [00002]
**ἕλκειν** [00010]
**ἑλκεσθαι** [00016]
**ἐλοιδόρει** [00110]
**ἐμβαίνει** [00039]
**ἐμμελὴς** [00107]
**ἐμμελῶς** [00026] [00107]
**ἐμοῦ** [00099]
**ἐμπλή** [00040]
**ἐν** [00005] [00006] [00054] [00056] [00060] [00067] [00075] [00099] [00107] [00107]
**ἐναντίας** [00097]
**ἐνασκεῖ** [00041]
**ἐνδακὼν** [00072]
**ἐνιαυτῶν** [00018]
**ἑνὸς** [00016]
**ἐνσημή** [00039]
**ἐνταῦθα** [00016]
**Ἐντεῦθεν** [00012]
**ἐνύδροις** [00006]
**ἐξ** [00101]

ἐξαίρετον [00002]
ἐξετάζομεν [00014]
ἐξευρέθη [00013]
ἐξουσίας [00019] [00040]
ἐξυβρίσης [00025]
ἔξωθεν [00036] [00105]
ἐπ [00046] [00048]
ἐπαίνοις [00038]
ἐπαναστάσεις [00014]
ἐπανέστησεν [00110]
ἐπαχθοῦς [00028]
ἐπείγοντες [00010]
ἐπειδὴ [00006] [00038] [00082] [00093]
ἐπειθόμεθα [00029]
ἐπέχειν [00036]
ἐπὶ [00005] [00063] [00071] [00072] [00072] [00102] [00108] [00121]
ἐπι [00042]
ἐπιζητεῖ [00088]
ἐπιθυμήσει [00036]
ἐπικειμένων [00014]
ἐπιμανέντα [00076]
ἐπιμέλειαν [00026]
Ἐπιμελεῖς [00061]
ἐπινοηθῇ [00098]
ἐπίπληξις [00032]
ἐπίσκο [00051]
ἐπισκοπικῆς [00074]
ἐπισκόποις [00057]
ἐπίσκοπον [00099]
ἐπιστάξαν [00046]
ἐπιστασίας [00088]
ἐπιστήμας [00015]
ἐπιστήμης [00036]
ἐπιστολῶν [00076]
ἐπιτήδειον [00014]
ἐπιτήδευμα [00109]
ἐπιτηδευμάτων [00015]
ἐπιτιμήσεσι [00086]
ΕΠΙΤΙΜΗΣΕΣΙ [00001]
ἐπιτίμησιν [00073]
ἐπιφανείας [00005]
ἐποίκους [00014]
ἐπολεμήθη [00117]
ἐπομβρίας [00014]
ἐπουρανίων [00057]
ἐπρίσθη [00115]
ἔργῳ [00044]
ἐρεισμάτων [00014]
ἐρήμῳ [00107]
ἐῤῥαπίσθημεν [00125]
ἐσέμνυνε [00038]
ἐσταυρώθη [00119]
ἐστὶ [00082]
ἐστι [00101]
ἔστι [00020] [00035] [00066]
Ἔστι [00089]
ἐστιν [00088] [00109]
ἐσφάγη [00118]
ἐσφαλμένην [00056]
ἐταπείνωσάς [00073]
ἑτέ [00025]
ἑτέρᾳ [00025]
ἑτέραν [00014]
ἔτι [00052]
ἐτύγχανε [00052]
εὐαγγελικῷ [00081]
Εὐαγγελίοις [00056]
εὐάγωγος [00089]
εὐεργέτου [00027]
εὐθύνας [00019]
εὐλαβείᾳ [00048]
εὐλαβοῦς [00073]
εὐμηχάνως [00011]
εὔνοιαν [00110]
εὐπειθῆ [00010] [00038]
εὐπειθὴς [00089]
εὐπρόσκρουστον [00109]
εὐσέβειαν [00037] [00115]
εὐφροσύνην [00064]
εὐχῆς [00021] [00050]
εὐχῶν [00055]
ἐφείσαντο [00109]
ἐφιλονείκουν [00108]
ἐφοδεύομεν [00012]
ἐφονεύθη [00117]
ἐχαρίσατο [00008]
ἔχει [00004] [00013] [00016] [00030] [00056]
ἔχεται [00046]
ἐχθροὶ [00124]
ἔχομεν [00010]
ἔχοντες [00012]
ἔχοντος [00059]
ἔχων [00004] [00008]
Ἔχων [00026]
Ἑῶ [00015]

Ζαχαρίας [00117]
ζόφῳ [00054]
ζυγῷ [00010] [00069]
ζῶα [00004]
ζωῆς [00016]
ζώοις [00006]
ζῷον [00016]

ἡ [00006] [00022] [00060] [00060] [00071] [00088] [00105]
ἢ [00036] [00051] [00059] [00072] [00127]
Ἡ [00065]
Ἠ [00024]
ἡγεμόνα [00007] [00113]
ἤδη [00014]
ἡδοναῖς [00016]
ἡδύτερον [00079]

**ἤθεσιν** [00088]
**ἤκουσε** [00043]
**ἡλικίαν** [00038]
**ἥλιος** [00013]
**ἡλίου** [00054]
**ἡμᾶς** [00008]
**Ἡμεῖς** [00125]
**ἡμέρα** [00022]
**ἡμέραι** [00024]
**ἡμετέ** [00009]
**ἡμέτερος** [00098]
**ἡμῖν** [00008] [00034]
**ἡμίονος** [00066]
**ἡμιόνους** [00010]
**ἡμῶν** [00118]
**ἦν** [00029] [00112]
**ἡνίκα** [00052] [00108]
**ἥπατος** [00014]
**ἤπιος** [00107]
**ἥπτοντο** [00108]
**Ἡσαΐας** [00115]
**Ἧττον** [00029]

**Θεῖον** [00002]
**θεοειδεῖ** [00004]
**Θεὸν** [00051] [00054]
**Θεὸς** [00008]
**Θεοῦ** [00002] [00003] [00027] [00113]
**Θεώρησον** [00076]
**θρασύνεται** [00045]
**θυμιάματος** [00108]
**θυμιατρίδας** [00108]
**θυμιῶντας** [00108]
**θύραι** [00034]
**θυρωροί** [00061]
**θυσιαστηρίου** [00117]

**ἰατι** [00014]
**ἰατρεύοντα** [00076]
**ἰατρῶν** [00031]
**ἰδεῖν** [00064]
**ἴδῃ** [00049]
**ἰδίᾳ** [00008]
**ἰδιαζόντως** [00004]
**ἴδιον** [00019]
**ἱερέα** [00049]
**ἱερεῖς** [00108]
**Ἱερεμίας** [00116]
**ἱερεὺς** [00107]
**ἱερὸν** [00002]
**ἱερωσύνης** [00108]
**ἱκανῶς** [00105]
**ἵν** [00098]
**ἵνα** [00008] [00027]
**ἵππον** [00010]
**ἵππος** [00066]
**ἱστορία** [00105]
**ἰσχύομεν** [00009]
**ἰσχυρῶν** [00009]

**καθ** [00003] [00122]
**καθέζῃ** [00099]
**καθεύδοντι** [00014]
**καθηγητοῦ** [00044]
**καινόν** [00100]
**καινοτομεῖ** [00040]
**καίτοι** [00108]
**κακὸν** [00029]
**κακόσιτοι** [00031]
**καλὰ** [00063]
**καλύπτεται** [00013]
**καλῶν** [00031]
**καλῶς** [00008]
**καμήλων** [00011]
**καμπτόμενον** [00070]
**Κάμψον** [00069]
**Κἂν** [00032] [00050]
**κἂν** [00025] [00033] [00034]
**κανὼν** [00075]
**καρπὸν** [00079]
**κας** [00054]
**κατ** [00012] [00099]
**κατάγχοντες** [00010]
**καταδικάζεται** [00047]
**κατακεκριμένου** [00059]
**κατακοσμήσαντι** [00008]
**καταλάλει** [00099]
**καταλείψομεν** [00094]
**κατάλληλον** [00096]
**καταμεμφομένη** [00065]
**καταῤῥακτῶν** [00116]
**κατάστασιν** [00055]
**κατασφίγγῃ** [00058]
**καταφρονεῖ** [00050]
**καταφρονεῖς** [00019]
**κατεβοήθη** [00116]
**κατεγογγύσθη** [00108]
**κατελάλει** [00110]
**κατεστασιάσθη** [00108]
**κατευθύνθητι** [00072]
**κατέφλεξε** [00108]
**κατηγορίας** [00028]
**κατηγορού** [00063]
**κεκλεῖσθαί** [00060]
**κελεύεται** [00047]
**κελεύομεν** [00009]
**κέντρα** [00053]
**κεφαλῆς** [00120]
**κημῷ** [00067]
**κὴν** [00014]

**κηρίων** [00079]
**κηρῷ** [00039]
**κίνδυνον** [00125]
**κινουμένης** [00014]
**κλεῖδα** [00057]
**κλεισθῇ** [00050]
**κλέπτης** [00060]
**κλέπτοντες** [00108]
**κλησίας** [00034] [00051]
**κλο** [00014]
**κοινωνίαν** [00004]
**κοινωνοὺς** [00099] [00099]
**κόμῃ** [00063]
**Κορὲ** [00108]
**Κορίνθιον** [00076]
**κραμένον** [00002]
**κρατυνθεὶς** [00075]
**κρείττων** [00106]
**κρημνὸν** [00072]
**κρίνων** [00099]
**κριτοῦ** [00019]
**κρυπτομένων** [00005]
**κτῆμα** [00002]
**κτου** [00040]
**κυβερνητικῆς** [00012]
**Κυριακὴν** [00023]
**Κύριος** [00038] [00077] [00118]
**Κυρίου** [00019]
**κωλύειν** [00123]
**κωλύων** [00104]

**λαγνείαις** [00027]
**λάκκοι** [00116]
**λακτίζειν** [00053]
**λαοῦ** [00050] [00108] [00109]
**λατρεύωμεν** [00008]
**λαῷ** [00107]
**λέγει** [00043]
**λέγεται** [00003]
**λείῳ** [00048]
**Λεκτέον** [00052]
**λέλυσαι** [00058]
**λεχθὲν** [00052]
**λην** [00015]
**λιμῷ** [00047]
**λογικὸν** [00020]
**λογικοῦ** [00020]
**λόγισαι** [00054]
**λόγον** [00008] [00014] [00026]
**λόγος** [00002] [00082] [00088] [00090] [00098]
**λόγου** [00008]
**λόγους** [00009]
**λόγῳ** [00044] [00096]
**λοιδορεῖται** [00049]
**λυθεὶς** [00058]
**λυομένη** [00014]
**Λυπεῖ** [00104]
**λυποῦμέν** [00086]

**Μάγους** [00012]
**μαθημάτων** [00046]
**μαθητὴς** [00036]
**μαθητῶν** [00035] [00100] [00122] [00124]
**μάθω** [00073]
**μακαριστὸν** [00007]
**μανθα** [00035]
**μανθάνεις** [00021]
**Μαρία** [00110]
**μαστιγοῖ** [00077]
**μαστίγων** [00092]
**μάταιον** [00027]
**ματαιότητος** [00099]
**μαχομένων** [00035]
**με** [00073] [00105]
**μέγα** [00126]
**μέγεθος** [00011]
**μεγέθους** [00013]
**μεθ** [00108]
**μεθα** [00012] [00030]
**μελέτην** [00046]
**μελῶν** [00059]
**μέμψεων** [00099]
**μὲν** [00014] [00041] [00080] [00081] [00102] [00112]
**μεν** [00012]
**μενα** [00031]
**μένειν** [00047]
**μενον** [00063]
**μενος** [00037]
**μεταβαλλόμενα** [00097]
**μεταβολὰς** [00018]
**μεταβολὴν** [00018]
**μετανοίᾳ** [00055]
**μεταξὺ** [00117]
**μεταῤῥυθμίσομεν** [00096]
**μετατυποῦται** [00098]
**μεταχειριζόμεθα** [00011] [00093]
**μετεχειρίζοντο** [00108]
**μετουσία** [00006]
**μέχρι** [00081]
**μηδὲ** [00099]
**μήτηρ** [00127]
**μητρυιᾷ** [00076]
**μιαροῖς** [00103]
**μιᾶς** [00036]
**μικρᾶ** [00097]
**μικρῷ** [00012]
**μιμεῖται** [00044]
**μισηθεὶς** [00119]
**μίσους** [00103]
**μνημονικὸν** [00016]
**μοι** [00073]
**μόνος** [00048]

**μου** [00099] [00100]
**μοχθεῖν** [00080]
**μυστηρίων** [00050]
**μυστικὸν** [00108]
**μωρίαν** [00020]
**Μωσαϊκῷ** [00081]
**Μωσέως** [00106]
**Μωϋσέως** [00109]
**Μωϋσῆς** [00112]

**ναοῦ** [00117]
**ναύτην** [00012]
**Ναυτιῶμεν** [00031]
**νεανίσκον** [00076]
**νεῖ** [00014]
**νέος** [00047]
**νέσθαι** [00026]
**νεωτερίζον** [00040]
**νηπίας** [00028]
**νηται** [00039]
**νομικαὶ** [00081]
**νομίσῃς** [00074]
**νόμος** [00075]
**νόμου** [00075]
**νόμῳ** [00081]
**νόντων** [00035]
**νοοῦν** [00029]
**νοσφιζόμενοι** [00108]
**νουθεσίαν** [00030]
**νοῦν** [00026]
**νυκτὶ** [00060]
**νῦν** [00081]
**νυνὶ** [00060]

**ξαίνοντες** [00086]
**ξύλῳ** [00012]

**ὁ** [00002] [00013] [00017] [00018] [00019] [00023] [00036] [00037] [00038] [00039] [00049] [00054] [00068] [00075] [00082] [00088] [00090] [00098] [00102] [00112] [00118] [00118]
**ὃ** [00108]
**Ὁ** [00049] [00118]
**ὁδηγεῖ** [00012]
**ὁδηγού** [00012]
**ὁδηγῶν** [00107]
**ὁδὸν** [00072]
**ὀδόντα** [00049]
**ὁδοῦ** [00063]
**ὀδυρμὸν** [00065]
**ὀδυρομένη** [00065]
**οἱ** [00031] [00061] [00100] [00108] [00109] [00113] [00114] [00124] [00126]
**οἶδας** [00024]
**οἰκείας** [00016]
**οἰκειοτάτους** [00110]
**οἰκέτην** [00083]
**οἴκοθεν** [00029]
**οἰκονομίαν** [00088]
**οἰμώζουσα** [00065]
**οἷον** [00065] [00068]
**οἷς** [00066]
**ὀλίγον** [00008] [00046]
**ὀλιγωρήσας** [00047]
**ὀλιγώρως** [00016]
**ὁμοίωσιν** [00003]
**ὃν** [00016]
**ὂν** [00077]
**ὄν** [00009]
**Ὃν** [00077]
**ὀνομάζων** [00099]
**ὀνόματα** [00042]
**ὄνον** [00010]
**ὀξύτερον** [00010]
**ὅπερ** [00008]
**ὅπως** [00013] [00014] [00073]
**ὁρᾷς** [00017] [00023]
**ὀργὴν** [00051]
**ὀρεγό** [00031]
**ὀρθοῦται** [00070]
**ὁρμήσῃς** [00072]
**ὁρῶσι** [00062]
**ὂς** [00036]
**ὅσον** [00108]
**ὅστις** [00026]
**ὅταν** [00012] [00049] [00073]
**ὅτι** [00054] [00058] [00073]
**Οὐ** [00078] [00083] [00117] [00123]
**οὐ** [00005] [00018] [00021] [00026] [00045] [00049] [00064] [00081] [00086] [00093] [00100] [00118] [00119]
**οὐδὲ** [00026] [00026] [00035] [00040] [00045] [00051] [00056] [00109]
**Οὐδὲν** [00056]
**οὐδὲν** [00059] [00111] [00112]
**οὐδέπω** [00108] [00125] [00125]
**οὐκ** [00002] [00012] [00020] [00021] [00024] [00035] [00039] [00042] [00046] [00066] [00084] [00085] [00108]
**οὖν** [00069] [00093] [00099]
**οὐρανὸν** [00012]
**Οὐρανοῦ** [00013]
**οὐρανῶν** [00049]
**οὐσίαν** [00059]
**Οὗτος** [00035]
**Οὕτω** [00010]
**οὕτω** [00107]
**οὕτως** [00008] [00030] [00049] [00095] [00098]
**Οὐχ** [00095] [00115] [00116]
**οὐχ** [00017] [00030] [00049]
**ὀφείλει** [00036] [00037]
**ὀφθαλμοῖς** [00023]
**ὀφθαλμοὺς** [00059]
**Ὀφθαλμῶν** [00005]
**ὀχήματα** [00010]
**ὄψα** [00031] [00097]

**πάθεσι** [00016]
**Πάθος** [00101]
**παι** [00039]
**παιδείαν** [00031]
**παιδείας** [00078]
**παιδεύει** [00077]
**παιδεύειν** [00123]
**παιδεύομέν** [00083]
**παιδευομένων** [00119]
**παιδεύσομεν** [00087]
**παιδία** [00049]
**Παιδίου** [00036]
**παιδίσκης** [00085]
**παίδων** [00048]
**παιζόμενοι** [00061]
**παλαιὸς** [00075]
**πάλιν** [00047]
**πᾶν** [00102]
**πάντα** [00009] [00107]
**παντὶ** [00044]
**πάντων** [00007] [00082]
**παρ** [00029] [00038]
**παρὰ** [00002] [00031] [00113]
**παραδέχεται** [00077]
**παράδοσιν** [00044]
**παραθεωροῦμεν** [00014]
**παραινέσεσι** [00068]
**παράκλησις** [00082]
**παρακόλουθον** [00101]
**Παραμένει** [00048]
**παραμένουσιν** [00081]
**παρανόμοις** [00103]
**παρασκευάζομεν** [00010]
**παραστῇ** [00060]
**παρατετηρημένοις** [00014]
**παρατρέποντος** [00020]
**παραχθήσομαι** [00100]
**παρέδωκεν** [00122]
**παροξυσμούς** [00127]
**παρώξυνεν** [00110]
**πᾶσαν** [00015]
**πᾶσιν** [00006]
**πάσχων** [00013] [00100]
**πατὴρ** [00127]
**πατρῷος** [00075]
**Παῦλον** [00052] [00076] [00120]
**πεῖρα** [00071]
**πελαγῶν** [00012]
**περαιούμεθα** [00012]
**περὶ** [00040] [00046] [00111] [00118] [00119]
**περι** [00016]
**περιαχθεὶς** [00072]
**περινοστῶν** [00049]
**περίοδον** [00015]
**περιῤῥῆξαν** [00045]
**περιωρίζετο** [00060]
**Πέτρον** [00121]
**Πέτρου** [00057]
**πιεζομένου** [00059]
**πικραί** [00078]
**πικρὸν** [00046]
**πλάτη** [00013]
**πλείονος** [00037]
**πλέον** [00009]
**πλεονεκτήματι** [00004]
**πληγή** [00082]
**πληγῇ** [00045]
**πληγῆς** [00080]
**πληγῶν** [00081]
**πλῆθος** [00013]
**πλημμέλημα** [00049]
**πλημμελημάτων** [00113]
**πλημμελοῦντα** [00086]
**πλουσίως** [00008]
**ποιεῖ** [00007]
**ποιῇ** [00026]
**ποιήσομεν** [00093]
**ποικί** [00015]
**ποικίλαις** [00016] [00122]
**ποικίλην** [00088]
**ποιμὴν** [00106] [00118]
**Ποίοις** [00023]
**ποιότητας** [00097]
**ποιοῦμεν** [00010]
**ποιούμενος** [00099]
**πολέμοις** [00107]
**πολλὰ** [00065]
**πολλῇ** [00048]
**πολλὴν** [00004]
**πολυμόχθῳ** [00110]
**πολυσαρκίαν** [00011]
**πον** [00051]
**πορείας** [00012]
**που** [00045]
**πραγμάτων** [00105]
**πρακτικὸν** [00016]
**πρᾶος** [00090]
**πράττεται** [00019]
**πρέπον** [00026]
**πρὸ** [00108]
**προβάτων** [00118]
**προβλέπων** [00017]
**προδίδως** [00027]
**προμαντευόμεθα** [00014]
**προορᾷς** [00026]
**πρόῤῥησις** [00056]
**πρὸς** [00004] [00004] [00011] [00014] [00015] [00031] [00031] [00051] [00052] [00053] [00059] [00097] [00098]
**ΠΡΟΣ** [00001]
**προσάγοντες** [00014]
**προσαρμόζουσα** [00088]
**προσγενόμενον** [00002]
**προσεῤῥιμμένη** [00065]
**προσθέσει** [00097]
**προσθήκῃ** [00098]
**προσθήκης** [00037]
**προσκρούεις** [00025]

**πρόσταγμα** [00048]
**προστάγμασι** [00069]
**προστασία** [00109]
**προστάτης** [00108]
**προφανῶς** [00049]
**πρώτην** [00041] [00055]
**πρῶτον** [00008]
**πτηνοῖς** [00006]
**πῦρ** [00108]
**πῶς** [00087]

**ῥάβδος** [00082]
**ῥάβδους** [00093]
**ῥᾳθυμῆσαν** [00045]
**ῥᾳθυμίαν** [00047]
**ραις** [00009]
**ραν** [00025]
**ῥήματος** [00033]
**ῥίζαι** [00078]
**ρίζωμεν** [00008]
**ῥοπάλοις** [00010]
**ῥύπῳ** [00063]

**Σάββατον** [00023]
**σαρκὶ** [00125]
**σαρκῶν** [00005]
**Σάῤῥας** [00084]
**σατανικῶς** [00076]
**Σαῦλος** [00052]
**σαυτοῦ** [00026] [00026] [00054]
**σε** [00071] [00083] [00083] [00085] [00086] [00087]
**σελήνης** [00013]
**σεμνύνει** [00005]
**σεται** [00014]
**σημείοις** [00012]
**σημείωσις** [00013]
**σης** [00063]
**σιαγόνας** [00067]
**σιαστῶν** [00035]
**σιν** [00056]
**σκληρὰς** [00010]
**Σκληρόν** [00053]
**σκληρὸν** [00068] [00070]
**σκληρὸς** [00091]
**σκληρότεροι** [00100]
**σκληρότητας** [00127]
**σκότει** [00054]
**σκύ** [00045]
**σκυθρωπῷ** [00065]
**σοὶ** [00084]
**σοι** [00027] [00053] [00059] [00060]
**σοῦ** [00019]
**σου** [00073] [00127]
**σοφὸν** [00016]
**σπληνὸς** [00014]
**στα** [00035]
**στασιώδη** [00108]
**σταυρὸν** [00121]
**σταυρωθέντος** [00126]
**στέλλουσαν** [00014]
**στένουσα** [00065]
**στήματος** [00013]
**στοιχεῖα** [00040]
**στοιχείοις** [00042]
**στρατηγὸς** [00107] [00108]
**στραφῆτε** [00049]
**στύφον** [00097]
**στύφοντος** [00097]
**στων** [00031]
**συγκε** [00002]
**συγχωρήσουσιν** [00064]
**συμβῇ** [00060]
**σύμβολα** [00012] [00062]
**Συμβόλοις** [00014]
**συμβουλαῖς** [00030]
**συμφέρον** [00026] [00029]
**σὺν** [00048]
**συν** [00099]
**σύνεσις** [00066]
**συντονώτερον** [00046]
**σφόδρα** [00004] [00030]
**σχῆμα** [00059] [00096]
**σχήματα** [00013]
**σχήματι** [00049]
**σχημάτων** [00098]
**σώζουσαν** [00072]
**σώζων** [00107]
**σῶμα** [00009] [00086]
**σωτηρίας** [00016]
**σωτήριον** [00014]

**τὰ** [00004] [00004] [00012] [00016] [00031] [00031] [00040] [00049] [00049] [00060] [00062] [00063] [00064] [00073] [00097]
**τάγματα** [00064]
**ταῖς** [00009] [00030] [00068] [00086] [00099] [00122]
**ΤΑΙΣ** [00001]
**τάξιν** [00036]
**τὰς** [00010] [00014] [00014] [00015] [00015] [00015] [00015] [00018] [00019] [00039] [00045] [00067] [00076] [00097] [00108] [00113] [00127]
**τάτοις** [00059]
**ταύρους** [00010]
**Ταῦτα** [00020]
**ταῦτά** [00068]
**ταύτῃ** [00051]
**ταχὺν** [00010]
**τε** [00005] [00014] [00124]
**τει** [00045]
**τελευτὴ** [00060]
**τέλος** [00101]
**τες** [00009] [00029]
**τέσσαρες** [00081]
**τέχνας** [00015]

**τέχνης** [00036]
**τῇ** [00002] [00008] [00025] [00041] [00045] [00046] [00051] [00055] [00063] [00072] [00075] [00076] [00097] [00098] [00125]
**τὴν** [00004] [00004] [00011] [00013] [00014] [00015] [00017] [00018] [00021] [00023] [00025] [00026] [00026] [00030] [00031] [00038] [00041] [00044] [00046] [00047] [00049] [00049] [00051] [00051] [00055] [00056] [00057] [00059] [00062] [00072] [00088] [00089] [00100] [00104] [00110] [00115] [00116] [00123]
**τηρῶν** [00048]
**τῆς** [00005] [00012] [00013] [00016] [00016] [00019] [00026] [00028] [00034] [00037] [00050] [00050] [00051] [00059] [00061] [00063] [00065] [00075] [00078] [00084] [00084] [00084] [00084] [00085] [00085] [00088] [00088] [00099] [00108] [00110] [00120] [00124] [00125]
**Tί** [00093] [00114] [00120]
**τί** [00013] [00026] [00121] [00122] [00126]
**τι** [00060] [00100]
**τιμιώτατον** [00002]
**τιμῶν** [00057]
**τιμωρίᾳ** [00051]
**τιμωρία** [00060]
**τιμωρίαι** [00116]
**τιμωρίαις** [00122]
**τινα** [00063]
**τινας** [00013]
**τινι** [00065]
**Τίς** [00106]
**τίς** [00107]
**τις** [00089]
**Τὸ** [00016] [00030] [00039]
**τὸ** [00009] [00011] [00011] [00016] [00016] [00016] [00016] [00016] [00016] [00020] [00023] [00026] [00027] [00029] [00029] [00046] [00048] [00049] [00052] [00070] [00070] [00072] [00073] [00084] [00097] [00097] [00098] [00099] [00108] [00108] [00109] [00110] [00123]
**τοίνυν** [00039]
**τοιοῦτον** [00016]
**τοιούτῳ** [00052] [00076]
**τοῖς** [00004] [00010] [00010] [00012] [00014] [00014] [00030] [00038] [00041] [00042] [00057] [00058] [00069] [00071] [00088] [00102] [00103]
**Τὸν** [00068]
**τὸν** [00005] [00010] [00012] [00014] [00019] [00049] [00051] [00051] [00054] [00054] [00059] [00065] [00069] [00072] [00072] [00072] [00074] [00076] [00076] [00076] [00096] [00113] [00121] [00125]
**τόπῳ** [00065]
**τοσοῦτόν** [00109]
**τότε** [00065]
**ΤΟΥ** [00001]
**τοῦ** [00002] [00008] [00014] [00018] [00019] [00020] [00027] [00041] [00044] [00050] [00054] [00056] [00062] [00063] [00072] [00075] [00076] [00080] [00097] [00097] [00099] [00108] [00108] [00109] [00117] [00117] [00126]
**τοὺς** [00012] [00014] [00039] [00099] [00108] [00110] [00122]
**ΤΟΥΣ** [00001]
**Τοῦτο** [00007]
**τοῦτο** [00022] [00028] [00071] [00080] [00086] [00101] [00105] [00111]
**τοῦτον** [00114]
**τούτου** [00087]
**Τούτῳ** [00004]
**τούτῳ** [00090]
**τούτων** [00108]
**τραυματίᾳ** [00014]
**τραχὺ** [00099]
**τραχυτέρου** [00033]
**τραχύτητος** [00080]
**τροπὰς** [00017]
**τρόπος** [00035]
**τρόπῳ** [00044]
**τροφεὺς** [00107]
**τροφὴν** [00015]
**τρόφιμον** [00098]
**τύποις** [00041]
**τύπος** [00005]
**τύπτομέν** [00083]
**τυχὸν** [00051]
**τῷ** [00004] [00008] [00010] [00014] [00014] [00039] [00045] [00045] [00047] [00048] [00052] [00059] [00060] [00063] [00076] [00080] [00080] [00081] [00081] [00101] [00107] [00110]
**τῶν** [00005] [00005] [00007] [00009] [00012] [00014] [00014] [00014] [00015] [00018] [00031] [00031] [00031] [00036] [00046] [00048] [00049] [00050] [00055] [00057] [00059] [00076] [00081] [00097] [00098] [00099] [00099] [00100] [00105] [00108] [00108] [00113] [00118] [00119] [00122] [00124]

**ὑβρίσθη** [00108]
**υἱοὶ** [00108]
**υἱὸν** [00077] [00085]
**ὑπ** [00040] [00049]
**ὑπάγομεν** [00010]
**ὑπακοὴ** [00035]
**ὑπὲρ** [00125]
**ὑπευθύνων** [00076]
**ὑπηρετεῖσθαι** [00009]
**ὕπνον** [00014]
**ὕπνῳ** [00027]
**ὑποβληθεὶς** [00051]
**ὑποκειμένη** [00096]
**ὑποκειμένοις** [00088]
**ὕστερον** [00079]
**ὕψωσε** [00121]

**φαρμάκῳ** [00076]
**φειδώμεθα** [00087]
**φέρομεν** [00030]
**φερού** [00063]
**φέρουσαν** [00062]
**φησι** [00068]
**φησὶν** [00066]
**φίλοι** [00124]
**φιλονεικία** [00035]
**φιλοσοφοῦμεν** [00014]
**φορεῖν** [00010]
**φορτικὸν** [00110]
**φρενὸς** [00028]
**φυομένοις** [00014]
**φύσει** [00002]
**φύσεις** [00014]
**φυσικὴν** [00110]
**φυσικῶν** [00014]
**φύσιν** [00026]
**φυτοῖς** [00071]
**φωνῇ** [00049]

**χαλεπαίνομεν** [00032]
**χαλεπῶς** [00030]
**χαλινὸν** [00072]
**χαλινῷ** [00067]
**χαρακτῆρας** [00039]
**χαρακτηρίζεται** [00004]
**χάριτι** [00008] [00075]

**χεῖρα** [00041]
**χειρὶ** [00072]
**χείρων** [00112]
**χερσαίοις** [00006]
**χθιζὴ** [00022]
**χορηγῶν** [00107]
**χρείᾳ** [00096]
**χρεία** [00080]
**χρείαις** [00009]
**χρείας** [00098]
**χρήζει** [00092]
**χρῆμα** [00002]
**χρήσιμον** [00029]
**Χριστιανὸς** [00049]
**Χριστοῦ** [00056]
**χρόνους** [00013]
**χωριζόμενος** [00054]

**ψαλίοις** [00010]
**ψαλμὸς** [00068]
**ψεῦδος** [00056]
**ψυχὴν** [00062] [00086] [00100]
**ψυχῆς** [00059] [00073]

**ὧν** [00019]
**ὡς** [00012] [00024] [00031] [00038] [00047] [00049] [00055] [00060] [00066] [00069] [00083] [00083] [00085] [00085] [00102] [00108] [00108] [00108] [00108]
**Ὡς** [00127]
**Ὥς** [00063]
**ὥσπερ** [00097]
**ὥστε** [00109]